1.4.

22 Ὁ αὐτὸς βασιλεὺς Μηνᾷ ἐπάρχῳ πραιτωρίων.
Οὐδένα ἐμβάλλεσθαι ἐν φυλακῇ δίχα προστάξεως τῶν
κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν ἢ ἐν ἐπαρχίᾳ ἐν-
δόξων ἢ περιβλέπτων ἢ λαμπροτάτων ἀρχόντων ἢ
1 τῶν ἐν ταῖς πόλεσιν ἐκδίκων βουλόμεθα. Ἐπὶ δὲ
τῶν ἐμβληθέντων ἢ ἐμβαλλομένων τοὺς θεοφιλεστά-
τους τῶν τόπων ἐπισκόπους μίαν ἑκάστης ἑβδομάδος
ἡμέραν τὴν τετράδα ἢ τὴν παρασκευὴν τοὺς ἐν ταῖς
φυλακαῖς διερευνᾶσθαι καὶ σὺν ἀκριβείᾳ μανθάνειν
τὰς τῆς αὐτῶν κατοχῆς αἰτίας καὶ εἴτε οἰκέται τυγχά-
νοιεν ὄντες εἴτε ἐλεύθεροι, εἴτε ἐπὶ χρήμασιν εἴτε ἐπὶ
ἄλλοις ἐγκλήμασιν εἴτε ἐπὶ φόνοις ἐμβεβλημένοι.
2 Παρασκευάζειν τοὺς ἐνδοξοτάτους καὶ περιβλέπ-
τους καὶ λαμπροτάτους ἄρχοντας ταύτης τε τῆς εὐ-
δαίμονος πόλεως καὶ τῶν ἐπαρχιῶν ἐκεῖνα πράττειν
ἐπ᾽ αὐτοῖς, ἅπερ ἡ πρὸς τοὺς ἐνδοξοτάτους ἐπάρχους
περὶ τούτου καταπεμφθεῖσα θεία ἡμῶν διαγορεύει
διάταξις, ἀδείας διδομένης τοῖς κατὰ καιρὸν θεοφιλε-
στάτοις ἐπισκόποις, εἴ τινα ῥαθυμίαν ἴδοιεν γινομέ-
νην παρὰ τῶν κατὰ καιρὸν ἐνδοξοτάτων καὶ μεγαλο-
πρεπεστάτων καὶ λαμπροτάτων ἀρχόντων ἢ παρὰ
τῶν πειθομένων αὐτοῖς τάξεων, ταύτην μηνύειν, ὡς
ἂν ἡ προσήκουσα κατὰ τῶν ῥαθυμούντων ἐνεχθείη
κίνησις. *D. XV k. Febr. Constantinopoli Decio
cons.* [*a.* 529]

id est:

*Idem A. Menae pp.*

Neminem in custodiam conici volumus iniussu illustrium
vel spectabilium vel clarissimorum huius almae urbis provinciarumque
magistratuum vel defensorum civitatum.
1 ¶ Eos autem qui inclusi sunt vel includentur religiosissimi locorum
episcopi una cuiusque hebdomadis die quarta vel sexta explorent
et diligenter causas detentionis eorum inquirant et servine an liberi sint,
num propter aes alienum an propter alias accusationes
vel ob homicidium inclusi sint.
2 ¶ Curent magistratus illustres et spectabiles et clarissimi huius
almae urbis provinciarumque ea in iis fieri, quae sacra constitutio
nostra ad illustres praefectos praetorio ea de re missa praecipit:
data licentia religiosissimis pro tempore episcopis, si quid praetermitti
videant ab illustribus spectabilibus clarissimis pro tempore magistratibus
vel ab officiis quae iis parent, hoc denuntiandi, ut congruens motus
in contemptores dirigatur.

1.4.

23 Ὁ αὐτὸς βασιλεὺς Μηνᾷ ἐπάρχῳ πραιτωρίων. Ἰδιωτικὰς φυλακὰς πᾶσι τρόποις ἐν πόλεσιν ἢ ἐν κώμαις ἀπαγορεύομεν καθίστασθαι, αὐτῶν δηλαδὴ τῶν κατεχομένων προνοίᾳ τῶν κατὰ τόπον θεοφιλεστάτων ἐπισκόπων τῆς κατοχῆς ἀφιεμένων. *D. XII k. Febr. Constantinopoli Decio cons.* [*a.* 529]

id est:
*idem A Menae pp.*

Privatos carceres omnimodo in urbibus vel vicis constitui vetamus, iis videlicet qui detinentur providentia religiosissimorum loci episcoporum custodia liberandis.